recta, non magna: gena, neque læuis, neque omnino rugoſa. Signa TIMIDI. Pili molles, corpore inclinatus, non erectus, quæ ſunt ſub vmbilico ſurſum tracta, circa faciem ſubcroceus, oculi imbecilles, & mobiles, & extrema corporis imbecilla, & crura parua, manus longæ, & ſubtiles: lumbi autem parui, & imbecilles, figura contenſa in moribus non vehemens, ſed ſupinus, & ſtupefactibilis: mos, qui eſt in facie, mobilis, ſolicitus.

INGENIOSI ſigna. Caro humidior, & mollior, non boni habitus, neque valde pinguis: quæ ſunt circa muſculos ſcapularum, & collum, macriora, & quæ ſunt circa faciem, incolligata: quæ ſunt circa muſculos ſcapularum, & inferiora, remiſſa: bene ſoluta, quæ ſunt circa coſtas, & ſecundum dorſum non carnoſus: corpus album miſto rubore, & purum: cutis ſubtilis: pili non valde duri, nec valde nigri: oculus charopus, humidus.

INSENSATI ſigna. Quæ ſunt circa collum & crura, carnoſa complexa, & colligata: cotyle rotunda: muſculi ſcapularum, ſurſum expanſi: frons magna, circularis, carnoſa: oculus croceus: crura circa talum groſſa, carnoſa, rotunda: mandibulæ magnæ carnoſæ, lumbi carnoſi, crura longa, collum groſſum, facies carnoſa, ſublonga ſatis: motus autem & figuram & morem, qui apparet in facie, ſecundum ſimilitudines accipit. INVERECUNDI ſigna. Oculus apertus, & ſplendidus, palpebræ ſanguineæ, & craſſæ, & parum curuus, muſculi ſcapularum ſurſum eleuati, figura non recta, ſed parum prona. In motibus autem acutus, rubeus corpore, color ſanguineus, facies rotunda, pectus ſurſum tractum. MODERATI ſigna. In motibus tardus, & loquens tardè: vox tarda, plena, ſpiritus mitis, oculus hilaris, non ſplendidus, niger, neque valde apertus, neque omnino clauſus, palpebrizans tardè. Oculorum enim, qui celeriter palpebrizant, hi quidem timidum, hi verò calidum ſignant.

ANIMOSI ſigna. Frons bene magna, & carnoſa, & læuis, quæ ſunt circa oculos videntur humiliora, & facies ſomnolentior, neq. intenſè aſpiciens, neq. remiſſè:

A κάτω προσεσπασμέναι· ὄμμα χαροπὸν, οὔτε λίαν ἐπτυγμένον, οὔτε παντάπασι συμμύον· αὐχμηρότερον τὸ χρῶμα τὸ ἐπὶ τοῦ σώματος· ὀξὺ μέτωπον, εὐθὺ, οὐ μέγα· ἰσχνὸν οὔτε λεῖον, οὔτε παντάπασι ῥυτιδῶδες. Δειλοῦ σημεῖα, τριχωμάτιον μαλακὸν, τῷ σώματι συγκαμθικὸς, οὐκ ἐπισπερχές· αἱ δὲ γαστροκνημίαι ἄνω ἀνεσπασμέναι· περὶ τὸ πρόσωπον ὕπωχρος· B ὄμματα ἀσθενῆ, καὶ [εἰ] σκαρδαμύττει· καὶ τὰ ἀκρωτήρια τοῦ σώματος ἀσθενῆ· τὰ σκέλη μικρὰ, καὶ χεῖρες λεπταὶ καὶ μακραί· ὀσφὺς δὲ μικρὰ καὶ ἀσθενής· τὸ σχῆμα σύντονον ἐν ταῖς κινήσεσιν· οὐκ ἰταμὸς, ἀλλ' ὕπτιος, καὶ τεθαμβηκὼς τὸ ἦθος· τὸ ἐπὶ τοῦ προσώπου εὐμετάβολον, κατηφής. Εὐφυοῦς σημεῖα, σὰρξ ὑγροτέρα, καὶ ἁπαλωτέρα, οὐκ εὐεκτική, οὐδὲ πιμελώδης σφόδρα· τὰ περὶ τὰς ὠμοπλάτας C καὶ τράχηλον, ἰσχνότερα, καὶ τὰ περὶ τὸ πρόσωπον· καὶ συνδέτα τὰ περὶ τὰς ὠμοπλάτας, καὶ τὰ κάτω ἀφειμένα· εὔλυτα τὰ περὶ τὰς πλευράς· καὶ τὸ νῶτον ἀσαρκότερον· τὸ σῶμα λευκέρυθρον καὶ καθαρόν· τὸ δερμάτιον λεπτόν· τριχωμάτιον μὴ λίαν σκληρὸν, μηδὲ λίαν μέλαν· ὄμμα χαροπὸν, ὑγρόν. Ἀναισθήτου σημεῖα· τὰ περὶ τὸν αὐχένα καὶ τὰ σκέλη D σαρκώδη καὶ συμπεπλεγμένα καὶ συνδεδεμένα· κοτύλη στρογγύλη· ὠμοπλάται ἄνω ἀνεσπασμέναι· μέτωπον μέγα, περιφερὲς, σαρκῶδες· ὄμμα χλωρὸν, κωφόν· κνῆμαι περὶ σφυρὸν παχεῖαι, σαρκώδεις, στρογγύλαι· σιαγόνες μεγάλαι, σαρκώδεις· ὀσφὺς σαρκώδης· σκέλη μακρά· τράχηλος παχύς· πρόσωπον σαρκῶδες, ὑπόμακρον ἱκανῶς· τὰς δὲ κινήσεις καὶ τὸ σχῆμα, καὶ τὸ ἦθος τὸ ἐπὶ τοῦ προσώπου E ἐπιφαινόμενον, κατὰ τὰς ὁμοιότητας ἀναλαμβάνει. Ἀναιδοῦς σημεῖα, ὀμμάτιον ἀνεπτυγμένον καὶ λαμπρόν· βλέφαρα ὕφαιμα, καὶ παχέα· μικρὸν ἔγκυρτος· ὠμοπλάται ἄνω ἐπηρμέναι· τῷ σχήματι μὴ ὀρθὸς, ἀλλὰ μικρῷ προπετέστερος· ἐν ταῖς κινήσεσιν ὀξύς· ἐπίπυρρος τὸ σῶμα· τὸ χρῶμα ὕφαιμον· στρογ- F γυλοπρόσωπος· τὸ στῆθος ἀνεσπασμένον.

Κόσμιος, ἐν ταῖς κινήσεσι βραδὺς καὶ διαλεκτικός· φωνὴ βραδεῖα καὶ πνευματώδης, καὶ ἀσμενής· ὀμμάτιον ἀλαμπὲς, μέλαν, καὶ μήτε λίαν ἀνεπτυγμένον, μήτε παντάπασι συμμεμυκὸς, σκαρδαμυκτικὸν βραδέως. τὰ γὰρ ταχέως σκαρδαμύττοντα τῶν ὀμμάτων, τὰ μὲν δειλὸν, τὰ δὲ θερμὸν σημαίνει. Εὐθύμου σημεῖα, μέτωπον εὐμέγεθες, καὶ σαρκῶδες, καὶ λεῖον· τὰ περὶ τὰ ὄμματα ταπεινότερα, καὶ ὑπνωδέστερον τὸ πρόσωπον φαίνεται, μήτε δεδορκὸς, μήτε συννοοῦν.